# METER WORKSHEET :: THE "NEW SAPPHO"

**EXERCISE:** Determine the meter of the New Sappho and scan the first 4 lines. For extra practice, scan the entire poem. Hints: the meter contains several choriambs; the first syllable of each line is an anceps.

*ὔμμες πεδὰ Μοίσαν ἰ]οκ[ό]λπων κάλα δῶρα, παῖδες,*

*σπουδάσδετε καὶ τὰ]ν  φιλάοιδον λιγύραν χελύνναν·*

*ἔμοι δ  ἄπαλον πρίν] ποτ᾽ [ἔ]οντα χρόα γῆρας ἤδη*

*ἐπέλλαβε, λεῦκαι δ᾽ ἐγ]ένοντο τρίχες ἐκ μελαίναν·*

*βάρυς δέ μ᾽ ὁ [θ]ῦμος  πεπόηται, γόνα δ᾽ [ο]ὐ φέροισι,*

*τὰ δή ποτα λαίψηρ᾽ ἔον ὄρχησθ᾽ ἴσα νεβρίοισι.*

*τὰ <μὲν> στεναχίσδω θαμέως· ἀλλὰ τί κεν ποείην;*

*ἀγήραον ἄνθρωπον ἔοντ᾽ οὐ δύνατον γένεσθαι*

*καὶ γὰρ π[ο]τα  Τίθωνον ἔφαντο βροδόπαχυν Αὔων*

*ἔρωι φ...αθεισαν βάμεν᾽ εἰς ἔσχατα γᾶς φέροισα[ν,*

*ἔοντα  [κ]άλον καὶ νέον, ἀλλ᾽ αὖτον ὔμως ἔμαρψε*

*χρόνωι πόλιον γῆρας, ἔχ[ο]ντ᾽ ἀθανάταν ἄκοιτιν.*